eul_wid: brc-ab

*Ἀντιφῶν ὁ Ἀθηναῖος (ὁ Σοφιστής)* · Antiphon the Sophist of Athens

# On Nature and Justice

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Ἔμμετρος* Verse
**Affiliation:** Sophist

book 1.1 Διὰ τοῦτο οὐδενὸς δεῖται, οὐδὲ προσδέχεται οὐδενός

book 1.2 τι, ἀλλ’ ἄπειρος καὶ ἀδέητος (Suidas, I, p. 94, cf. Harpocr., s. u. ἀδέητος).

book 2.1 Καὶ ἡ σηπεδὼν

book 2.2 τοῦ ξύλου ἔμβιος γένοιτο (Harpocr., s. u. ἔμβιος). —...(φησιν Ἀντιφῶν ὅτι) εἴ τις κατορύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστ’ ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην, ἀλλὰ ξύλον (Arist., Phys., II,[ln_5]193 a).

book 3.1 Πᾶσι γὰρ ἀνθρώποις ἡ γνώμη

book 3.2 τοῦ σώματος ἡγεῖται καὶ εἰς ὑγιείαν καὶ νόσον καὶ εἰς τὰ ἄλλα πάντα (Galenus, XVIII, 2).

book 4.1 ... Δικα[ιο]σύνη πάντα 〈τὰ〉 τῆς πό[λεω]ς νόμιμα ἐν ᾗ ἂν

book 4.2 πολι[τεύ]ηταί τις μὴ [παρ]αβαίνειν· χρῷτ’ ἂν οὖν ἄνθρωπος μάλιστα ἑαυτῷ ξυμφ[ε]ρόντως δικαιοσύνῃ εἰ μετὰ μὲν μαρτύρων τ[ο]ὺς νόμους μεγά[λο]υς ἄγοι·[ln_5]μονούμενος δὲ μαρτύρων, τὰ τῆς φύσεως· τὰ μὲν γὰρ τῶν νόμων [ἐπίθ]ετα, τὰ δὲ τῆς φύσεως ἀ[ναγ]καῖα· καὶ τὰ [μὲν] τῶν νό[μω]ν ὁμολογη[θέντ]α, οὐ φύν[τ’ ἐστί]ν, τὰ δὲ [τῆς φύσ]εως φύν[τα, οὐχ] ὁμολογητά· τὰ οὖν νόμιμα

book 4.3 παραβαίνων, ἢ ἂν λάθῃ τοὺς ὁμολογήσαντας, καὶ αἰσχύνης[ln_10]καὶ ζημίας ἀπήλλακται, μὴ λαθὼν δ’ οὔ· τῶν δὲ τῇ φύσει ξυμφύτων ἐάν

book 4.4 τι παρὰ τὸ δυνατὸν βιάζηται, ἐάν

book 4.5 τε πάντας ἀνθρώπους λάθῃ, οὐδὲν ἔλαττον κακόν, ἐάν

book 4.6 τε πάντες ἴδωσιν, οὐδὲν μεῖζον· οὐ γὰρ διὰ δόξαν βλάπτεται, ἀλλὰ δι’ ἀληθείαν.

book 4.1 [ln_15]Ἔστι δὲ πάντων ἕνεκα

book 4.2 τούτων ἡ σκέψις, ὅτι τὰ πολλὰ τῶν κατὰ νόμον δικαίων

book 4.3 πολεμίως τῇ φύσ[ει] κεῖται· νενο[μο]θ[έ]τηται γὰρ [ἐ]πί τε

book 4.4 τοῖς ὀφ[θ]αλμοῖς ἃ δεῖ αὐτοὺς ὁρᾶν καὶ ἃ οὐ [δ]εῖ, καὶ ἐπὶ τοῖς ὠσὶν ἃ δεῖ αὐτὰ ἀκούειν καὶ ἃ οὐ δεῖ, καὶ ἐπὶ τῇ γλώττῃ ἅ τ[ε] δεῖ αὐτὴν[ln_20]λέγειν καὶ ἃ οὐ δεῖ, καὶ ἐπὶ ταῖς

book 4.5 χερσὶν ἅ τε δεῖ αὐτὰς δρᾶν καὶ ἃ οὐ δεῖ, καὶ ἐπὶ τοῖς

book 4.6

ποσὶν ἐφ’ ἅ τε δεῖ αὐτοὺς ἰέναι καὶ ἐφ’ ἃ οὐ δεῖ, καὶ ἐπὶ τῷ νῷ ὧν

book 4.7 τε δεῖ αὐτὸν ἐπιθυμεῖν καὶ ὧν μή. [Ἔστι]ν οὖν οὐδὲν τῇ φύσει

book 4.8 φιλιώτ[ερ]α οὐδ’ οἰκειότε[ρα] ἀφ’ ὧν οἱ νόμο[ι ἀ]ποτρέπουσι[ln_25]τ[οὺς] ἀν[θ]ρώπ[ους] ἢ ἐφ’ ἃ προτρέπουσ[ιν]· τ[ὸ γὰρ] ζῆν [ἐ]στι τῆς φύσεως κ[αὶ τ]ὸ ἀποθανεῖν, καὶ τὸ μὲν ζ]ῆν αὐτ[οῖς] ἐστι[ν ἀ]πὸ τῶν ξυμ[φερό]ντων, τὸ δὲ ἀποθανεῖν ἀπὸ τῶν μὴ ξυμφερόντων· τὰ δὲ ξυμφέροντα, τὰ μὲν ὑπὸ τῶν νόμων κε[ί]μενα δεσμ[ὰ] τῆς φύσεως

book 4.1 [ln_30]ἐ[στί], τὰ δ’ ὑπὸ τῆς φύσεως ἐλεύθερα· οὔκουν τὰ ἀλγύνοντα ὀρθῷ γε λ[ό]γῳ ὀνίνησιν τὴ[ν] φύσιν μᾶλλον ἢ τὰ εὐφραίνοντα· οὔκουν ἂν οὐδὲ ξυμφέροντ’ εἴη τὰ λυποῦ[ντα] μᾶλλον ἢ τ[ὰ ἥ]δοντ[α]· τὰ γὰρ τῷ ἀληθεῖ ξυμφέρ[ο]ντα οὐ βλάπ[τ]ειν δεῖ, ἀλλ’ ὠφ[ε]λεῖν· τὰ τοίνυν τῇ φύσει[ln_35]ξυμφέροντα .τ... ... [Οἵτινε]ς ἂν

book 4.2 πα[θόν]τες ἀμύνων[ται κ]αὶ μὴ αὐτοὶ ἄρχωσι

book 4.3 τοῦ δρᾶν, [καὶ ο]ἵτινες ἂν [τοὺς] γειναμέ[νου]ς, καὶ κακοὺς ὄντας εἰς αὐτοὺς, εὖ ποιῶσιν, καὶ οἳ κατόμνυσθαι διδόντες ἑτέροις, αὐτοὶ μὴ κατομνύμε[νοι], καὶ

book 4.1 [ln_40]τούτων τῶν εἰρημένων πόλλ’ ἄν

book 4.2 τις εὕροι

book 4.3 πολέμια τῇ φύσει· ἔνι γε αὐτοῖς ἀλγύνεσθαί τε μᾶλλον, ἐξὸν ἧττω, καὶ ἐλάττω ἥδεσθαι, ἐξὸν

book 4.4 πλείω, καὶ κακῶς πάσχειν, ἐξὸν μὴ πάσχειν· εἰ μὲν οὖν

book 4.5 τις [τ]οῖς

book 4.6 τοιαῦτα

book 4.7 προ[ϊ]εμένοις ἐπικού[ρ]ησις ἐγίγνε[το] παρὰ τῶν νό[μ]ων, τοῖς δὲ μὴ[ln_45]προϊεμένοις, ἀλ[λ’ ἐ]ναντιουμέ[ν]οις, ἐλάττωσις, οὐκ ἀν[ωφελὲς ἂν] ἦν τ[οῖς νό]μοις

book 4.8 πεί[θεσθαι· νῦν] δὲ φαίνε[ται] τοῖς

book 4.9 προσιεμ[ένοις] τὰ τοιαῦτα τὸ ἐ[κ] νόμου δίκαι[ον] οὐχ ἱκανὸν ἐπικουρεῖν, ὅ γε

book 4.10 πρῶτον μὲν ἐπιτρέπει τῷ πάσχοντι

book 4.11 παθεῖν καὶ τῷ δρῶντι δρᾶσαι, καὶ

book 4.1 οὔτε ἐνθαῦτα διεκώλυε τὸν πάσχοντα μὴ παθεῖν οὐδὲ τὸν δρῶντα δρᾶσαι, εἴς

book 4.2 τε τὴν

book 4.3 τιμωρίαν ἀναφερόμενον οὐδὲν ἰδιώτερον ἐπὶ [τ]ῷ [π]επονθότι ἢ τῷ δεδρακό[τι] ..... ταῦτα δὲ κ[α]ταλείπετα[ι] καὶ τῷ δράσαντ[ι ἀ]ρνεῖσθαι (Oxy. pap., XI, no1364, fr. 1).

book 5.1 ...ρων ἐπ[αιδούμε]θά τε κ[αὶ σεβόμεθα], τοὺς δὲ [ἐκ

book 5.2 φαύ]λου οἴκ[ου ὄντας] οὔτε ἐπ[αιδούμε]θα οὔτε

book 5.3 σεβόμεθα· ἐν τ[ο]ύτῳ γὰρ

book 5.4 πρὸς ἀλλή[λους] βεβαρβαρώ[με]θα, ἐπεὶ φύσει πάντα πάντ[ες] ὁμοίως

book 5.5 πεφύκ[α]μεν καὶ βάρβαροι[ln_5]καὶ Ἕλλην[ες] εἶναι· σκοπεῖν δ[ὲ] παρέχει τὰ τῶν φύσει [ὄντων] ἀναγκαί[ων] πᾶσιν ἀν[θρώ]ποις π..... [para]Οὔτε β[άρβα]ρος ἀφώρισται ἡμῶν οὐδεὶς οὔτε Ἕλλην· ἀναπνέομέν

book 5.6 τε γὰρ εἰς τὸν ἀέρ[α] ἅπαντες κατὰ τὸ στόμ[α κ]αὶ κατ[ὰ] τὰς ῥῖνας. Κ[αὶ ... (Ib., fr. 2).

book 6.1 Ὅταν οὖν γένωνται ἐν τῷ ἀέρι ὄμβροι

book 6.2 τε καὶ πνεύματα ὑπεναντία ἀλλήλοις, τότε

book 6.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συστρέφεται τὸ ὕδωρ καὶ πυκνοῦται κατὰ πολλά· ὅ τι γὰρ ἂν τῶν ξυμπιπτόντων κρατηθῇ, τοῦτ' ἐπυκνώθη καὶ συνεστράφη ὑπό τε

book 6.4 τοῦ[ln_5]πνεύματος εἰλούμενον καὶ ὑπὸ τῆς βίας (Galenus, XVII, 1).

book 7.1 Ἄνθρωπος, ὅς

book 7.2 φησι μὲν πάντων θηρίων θεαιδέστατον γενέσθαι (Phot., Lex., p. 81, 19; Suidas, I, p. 1120; Et. Mag., p. 444; Eust. ad Il., III, 36).

book 8.1 Ἀναθέσθαι δὲ, ὥσπερ

book 8.2 πεττὸν, τὸν βίον οὐκ ἔστιν (Harpocr., s. u. ἀναθέσθαι).

book 9.1 Πολλοὶ δ' ἔχοντες φίλους οὐ γιγνώσκουσιν, ἀλλ' ἑταίρους

book 9.2 ποιοῦνται θῶπας

book 9.3 πλούτου καὶ τύχης κόλακας (Suidas, I, p. 1199).

book 10 Νόσος δειλοῖσιν ἑορτή· οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν (Stobaei Flor., VIII, 18).

book 11.1 Κακὸς δ' ἀεὶ ἐπ' ἀποῦσι μὲν καὶ μέλλουσι

book 11.2 τοῖς κινδύνοις τῇ γλώττῃ θρασύνεται καὶ τῷ θέλειν ἐπείγει, τὸ δ' ἔργον ἂν

book 11.3 παρῇ, ὀκνεῖ (Suidas, II, p. 1074).

book 12.1 Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδόμενοι καὶ ταλαιπωροῦντες καὶ προστιθέντες ἥδονται, οἷα δή τις ἂν εἰκάσειεν ἥδεσθαι· ἀφαιροῦντες δὲ καὶ χρώμενοι ἀλγοῦσιν, ὥσπερ ἀπὸ τῶν

book 12.2 σαρκῶν ἀφαιρούμενοι (Stobaei Flor., X, 40).

book 13.1 Εἰσί τινες οἳ τὸν

book 13.2 παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται

book 13.3 πολλῇ σπουδῇ, ὡς ἕτερόν

book 13.4 τινα βίον βιωσόμενοι, οὐ τὸν

book 13.5 παρόντα, καὶ ἐν

book 13.6 τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται (Stobaei Flor., XVI, 19).

book 14.1 Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον

book 14.2 πολὺ ἐδεῖτό οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν

book 14.3 τε καὶ μὴ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετο ὅποι δή· καί τις καταμαθὼν[ln_5]τοῦτο

book 14.4 ποιοῦντα ὑφείλετο, ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ ηὕρισκε τὰ χρήματα ὁ καταθέμενος. Περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν καὶ ἕτερον

book 14.5 προσέφερεν, ἀπαντήσας δὴ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν

book 14.6 συμφοράν,

book 14.1 [ln_10]ὅτι ἐξήμαρτε καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, ὡς πάντως οἱ ἀπολόμενον τὸ ἀργύριον. Ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὑτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον· πάντως γὰρ οὐδ' ὅτε ἦν

book 14.2 σοι ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ[ln_15]νῦν νόμιζε

book 14.3 στέρεσθαι μηδενός. Ὅτῳ γάρ

book 14.4 τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ οὐδὲν οὔτε

book 14.5 πλέον οὔτε ἔλασσον βλάπτεται. Ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρὶ, χρημάτων 〈μὲν〉 πλοῦτον

book 14.6 παρασχών, 〈τοῦ δὲ〉 φρονεῖν καλῶς πένητα

book 14.7 ποιήσας, τὸ[ln_20]ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν (Stobaei Flor., XVI, 29).

book 15.1 Ὅστις δὲ ἰὼν ἐπὶ τὸν

book 15.2 πλησίον κακῶς

book 15.3 ποιήσων δειμαίνει, μὴ ἃ θέλει

book 15.4 ποιῆσαι ἁμαρτὼν

book 15.5 τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. Ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου

book 15.6 χρόνος[ln_5]ἀπέστρεψε τὸν νοῦν τῶν θελημάτων· καὶ ἐν μὲν τῷ γεγενῆσθαι οὐκ ἔνεστιν, ἐν δὲ τῷ μέλλειν ἐνδέχεται τὸ μὴ γενέσθαι. Ὅστις δὲ δράσειν μὲν οἴεται

book 15.7 τοὺς πέλας κακῶς, πείσεσθαι δὲ οὔ, οὐ σωφρονεῖ. Ἐλπίδες δ’ οὐ πανταχοῦ ἀγαθόν· πολλοὺς γὰρ

book 15.8 τοιαῦται ἐλπίδες κατέβαλον εἰς[ln_10]ἀνηκέστους

book 15.9 συμφοράς, ἃ δ’ ἐδόκουν

book 15.10 τοὺς πέλας

book 15.11 ποιήσειν, παθόντες

book 15.12 ταῦτα ἀνεφάνησαν αὐτοί. Σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλο ὀρθότερόν

book 15.13 τις κρίνειεν, ἢ ὅστις

book 15.14 τοῦ θυμοῦ ταῖς

book 15.15 παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὑτὸς ἑαυτὸν 〈καὶ〉 κρατεῖν

book 15.16 τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν· ὃς δὲ θέλει

book 15 [ln_15]χαρίσασθαι τῷ θυμῷ παραχρῆμα, θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων (Stobaei Flor., XX, 66).

book 16.1 Ὅστις δὲ τῶν αἰσχρῶν ἢ τῶν κακῶν μήτε ἐπεθύμησε μήτε ἥψατο, οὔκ ἐστι σώφρων· οὐ γὰρ ἔσθ’ ὅτου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον

book 16.2 παρέχεται (Stobaei Flor., V, 53).

book 17.1 Φέρε δὴ προελθέτω ὁ βίος εἰς τὸ πρόσθεν καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. Αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου· μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. Εἰ γὰρ τύχοι μὴ ἐπιτήδεια γενόμενα, τί[ln_5]χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς

book 17.2 ποιῆσαι, ἴσα

book 17.3 φρονοῦντας, ἴσα

book 17.4 πνέοντας, ἀξιώσαντα καὶ ἀξιωθέντα· χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα

book 17.5 τοιοῦτον, δοκοῦντα ἡδονὰς κτᾶσθαι λύπας ἄγεσθαι. Φέρε δή, μὴ τὰ παλίγκοτα λέγωμεν, γενέσθω τὰ πάντων ἐπιτη-[ln_10]δειότατα. Τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δὲ γλυκύτερον, ἄλλως

book 17.6 τε καὶ νέῳ; ἐν τῷ αὐτῷ δέ γε

book 17.7 τούτῳ, ἔνθα τὸ ἡδύ, ἔνεστι

book 17.8 πλησίον

book 17.9 που καὶ τὸ λυπηρόν. αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ’ ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. Ἐπεὶ καὶ ὀλυμπιονῖ-

book 17.1 [ln_15]και καὶ πυθιονῖκαι καὶ οἱ τοιοῦτοι ἀγῶνες καὶ σοφίαι καὶ πᾶσαι ἡδοναὶ ἐκ μεγάλων λυπημάτων ἐθέλουσι

book 17.2 παραγίγνεσθαι· τιμαὶ γὰρ καὶ ἆθλα, δελέατα ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. Ἐγὼ γάρ, εἴ μοι γένοιτο σῶμα ἕτερον

book 17.3 τοιοῦτον[ln_20]οἷον ἐγὼ ἐμαυτῷ, οὐκ ἂν δυναίμην ζῆν, οὕτως ἐμαυτῷ πολλὰ πράγματα

book 17.4 παρέχων ὑπέρ

book 17.5 τε τῆς ὑγιείας

book 17.6 τοῦ σώματος ὑπέρ

book 17.7 τε τοῦ καθ’ ἡμέραν βίου ἐς τὴν ξυλλογὴν ὑπέρ

book 17.8 τε δόξης καὶ σωφροσύνης καὶ εὐκλείας καὶ τοῦ εὖ ἀκούειν. Τί οὖν, εἴ μοι γένοιτο σῶμα ἕτερον

book 17.9 τοιοῦτον, ὅ γε[ln_25]μοι οὕτως ἐπιμελὲς εἴη; οὐκοῦν δῆλον ὅτι γυνὴ ἀνδρὶ, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάσσους τὰς

book 17.10 φιλότητας

book 17.11 παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὑτῷ ὑπέρ

book 17.12 τε τῆς ὑγιείας δισσῶν

book 17.13 σωμάτων ὑπέρ

book 17.14 τε τοῦ βίου [καὶ] τῆς

book 17.15 συλλογῆς ὑπέρ

book 17.16 τε τῆς

book 17.17 σωφροσύνης καὶ τῆς εὐκλείας. Φέρε δή, καὶ παῖδες

book 17.1 [ln_30]γενέσθων· φροντίδων ἤδη πάντα

book 17.2 πλέα καὶ ἐξοίχεται τὸ νεοτήσιον

book 17.3 σκίρτημα ἐκ τῆς γνώμης καὶ 〈τὸ〉 πρόσωπον οὐκέτι τὸ αὐτό (Stobaei Flor., LXVIII, 37).

book 18.1 Εὐκατηγόρητος πᾶς ὁ βίος 〈καὶ ὁ〉 θαυμαστῶς ὡ〈σ〉 μακάριος, καὶ οὐδὲν ἔχων

book 18.2 περιττὸν οὐδὲ μέγα καὶ σεμνὸν, ἀλλὰ πάντα

book 18.3 σμικρὰ καὶ ἀσθενῆ καὶ ὀλιγοχρόνια καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις (Stobaei Flor., XCVIII, [ln_5]56).

book 19.1 Τὸ ζῆν ἔοικε

book 19.2 φρουρᾷ ἐφημέρῳ, [τό τε μῆκος

book 19.3 τοῦ βίου ἡμέρᾳ μιᾷ, ὡς ἔπος εἰπεῖν], ἣν ἀναβλέψαντες

book 19.4 πρὸς τὸ φῶς

book 19.5 παρεγγυῶμεν

book 19.6 τοῖς ἐπιγιγνομένοις ἑτέροις (Stobaei Flor., XCVIII, 63).

book 20.1 Πρῶτον οἶμαι τῶν ἐν ἀνθρώποις ἐστὶ παίδευσις· ὅταν γάρ

book 20.2 τις

book 20.3 πράγματος κἂν ὁτουοῦν τὴν ἀρχὴν ὀρθῶς

book 20.4 ποιήσηται, εἰκὸς καὶ τὴν

book 20.5 τελευτὴν ὀρθῶς γίγνεσθαι. Καὶ γὰρ τῇ γῇ οἷον ἄν

book 20.6 τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ[ln_5]ἔκφορα δεῖ προσδοκᾶν, καὶ ἐν νέῳ σώματι ὅταν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 20.7 τις τὴν

book 20.8 παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς

book 20.9 τοῦ βίου καὶ αὐτὸ οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται (Stobaei Append. Flor., XVI, 36).

book 21.1 Ἀναρχίας δ’ οὐδὲν κάκιον ἀνθρώποις· τοῦτο γιγνώσκοντες οἱ πρόσθεν ἄνθρωποι ἀπὸ τῆς ἀρχῆς εἴθιζον

book 21.2 τοὺς

book 21.3 παῖδας ἄρχεσθαι καὶ τὸ κελευόμενον

book 21.4 ποιεῖν, ἵνα μὴ ἐξανδρούμενοι εἰς μεγάλην μεταβολὴν ἰόντες ἐκπλήσσοιντο[ln_5](Stobaei Append. Flor., XVI, 37).

book 22.1 Αἱ νέαι

book 22.2 φιλίαι ἀναγκαῖαι μέν, αἱ δὲ παλαιαὶ ἀναγκαιότεραι (Exc. Vind., 44).

book 23.1 Οἵῳ τις ἂν τὸ πλεῖστον τῆς ἡμέρας

book 23.2 συνῇ, τοιοῦτον ἀνάγκη γενέσθαι καὶ αὐτὸν

book 23.3 τοὺς

book 23.4 τρόπους (Stobaei App. Flor., XVI, 37).

Eulogikon public reading copy · View original HTML at eulogikon.org